ΟΔ. ἄγε νυν ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν
ἔσω μολόντες· διάπυρος δ᾽ ἐστὶν καλῶς.
ΧΟ. οὔκουν σὺ τάξεις οὕστινας πρώτους χρεὼν
καυτὸν μοχλὸν λαβόντας ἐκκάειν τὸ φῶς
Κύκλωπος, ὡς ἂν τῆς τύχης κοινώμεθα.
ΗΜ. ἡμεῖς μέν ἐσμεν μακρότερον πρὸ τῶν θυρῶν
ἑστῶτες ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.
ΗΜ. ἡμεῖς δὲ χωλοί γ᾽ ἀρτίως γεγενήμεθα.
ΗΜ. ταὐτὸν πεπόνθατ᾽ ἆρ᾽ ἐμοί· τοὺς γὰρ πόδας
ἑστῶτες ἐσπάσθημεν οὐκ οἶδ᾽ ἐξ ὅτου.
ΟΔ. ἑστῶτες ἐσπάσθητε; ΧΟ. καὶ τά γ᾽ ὄμματα
μέστ᾽ ἐστὶν ἡμῶν κόνεος ἢ τέφρας ποθέν.
ΟΔ. ἄνδρες πονηροὶ κοὐδὲν οἵδε σύμμαχοι.
ΧΟ. ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ᾽ οἰκτείρομεν
καὶ τοὺς ὀδόντας ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενος, αὕτη γίγνεται πονηρία;
ἀλλ᾽ οἶδ᾽ ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὡς αὐτόματον τὸν δαλὸν εἰς τὸ κρανίον
στείχονθ᾽ ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.
ΟΔ. πάλαι μὲν ᾔδειν σ᾽ ὄντα τοιοῦτον φύσει,
νῦν δ᾽ οἶδ᾽ ἄμεινον. τοῖσι δ᾽ οἰκείοις φίλοις
χρῆσθαί μ᾽ ἀνάγκη. χειρὶ δ᾽ εἰ μηδὲν σθένεις,
ἀλλ᾽ οὖν ἐπεγκέλευέ γ᾽, ὡς εὐψυχίαν
φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.
ΧΟ. δράσω τάδ᾽. ἐν τῷ Καρὶ κινδυνεύσομεν.
κελευσμάτων δ᾽ ἕκατι τυφέσθω Κύκλωψ.
ἰὼ ἰώ, γενναιότατα
ὠθεῖτε, σπεύδετε.
ἐκκαίετε τὴν ὀφρὺν
θηρὸς τοῦ ξενοδαίτα.
τύφετ᾽ ὦ, καίετ᾽ ὦ
τὸν Αἴτνας μηλονόμον.

633. *καυστόν* Scaliger, *καὶ τόν* libri. 635. *ΗΜ.*] Canterus, *ΧΟ.* libri. *μακρότερον*] Musgravius, *μακρότεροι* libri. 638. *ΗΜ.*] Musgravius, *ΟΔ. ταὐτόν — ἐμοί. ΗΜ.* libri. *ταὐτόν τε B ταὐτόν C* 641. *μέστ᾽ ἐστίν*] Scaliger, *μέτεστιν* libri. *κόνεος*] Musgravius, *κόνεως* libri. 659. *τύφετ᾽ ὦ, καίετ᾽ ὦ*] Musgravius, *τυφέτω, καιέτω* libri.